Ακαδημία Αθηνών / Academy of Athens

*τᾷ τῷ ἀριθμῷ γενεᾷ* Δημόκριτος 226 *οἰκήιον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις* 267 *φύσει τὸ ἄρχειν οἰκήιον τῷ κρέσσονι* **2.** Οἰκεῖος/ἰδικός, one's own, Δημόκριτος 60 *κρέσσον τὰ οἰκήϊα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα* 293 *ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.* || **τὰ οἰκήϊα.** Δημόκριτος 80 *αἰσχρὸν τὰ ὀθνεῖα πολυπραγμονέοντα ἀγνοεῖν τὰ οἰκήϊα.*

**οἰκέτης.** Οἰκόσιτος δοῦλος, domestic slave, Δημόκριτος 270 *οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο.* Πρβλ. *δοῦλος.*

**οἰκήιος.** Βλ. **οἰκεῖος.**

**οἴκησις.** Κατοικία, dwelling, Ἀναξαγόρας 4.10 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀνήιστα συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται.* Πρβλ. *οἶκος, οἰκητήριον.*

**οἰκητήριον.** Ἐνδιαίτημα, home, Δημόκριτος 171 *εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δαίμονος.* Πρβλ. *οἶκος, οἴκησις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**οἰκοδομία.** Οἰκοδομική/τέχνη τοῦ οἰκοδομεῖν, art of building, Δημόκριτος 154 *μαθητὰς (sc. τῶν ζῴων) ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ κατὰ μίμησιν.*

**οἶκος.** Οἶκος/σπιτικό, home/household, Δημόκριτος 288 *νόσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.*

**οἰκτίρειν** (ἀντίθ. *φθονέειν*). Αἰσθάνομαι οἶκτο/λυποῦμαι, feel pity/be sorry for, Δημόκριτος 255 *ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γίγνεσθαι.*

**ὀιστός.** Βέλος, arrow, Ζήνων Α 27 (DK I 253,38) *ἡ ὀιστὸς φερομένη ἕστηκεν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ